**διπενθημιμερές / dipenthemimericum**

– ⏑ ⏑ – ⏑ ⏑ – | × – ⏑ – – ||

**1.** Hephaest. 50. 18 sqq. ἔνδοξόν ἐστι ἐπισύνθετον καὶ τὸ διπενθημιμερὲς τὸ ἐγκωμιολογικὸν καλούμενον, ὅπερ ἐστὶν ἐκ δακτυλικοῦ πενθημιμεροῦς καὶ ἰαμβικοῦ τοῦ ἴσου, ᾧ κέχρηται μὲν καὶ Ἀλκαῖος ἐν ᾄσματι οὗ ἡ ἀρχή· (fr. 383 Voigt)

ἦ ῥ᾿ ἔτι Διννομένῃ τῶ Τυρρακήω
τἄρμενα λαμπρὰ κέοντ᾿ ἐν Μυρσινήω,

κέχρηται δὲ καὶ Ἀνακρέων ἐν πλείοσιν ᾄσμασιν· (fr. 48 [PMG 393] Page)

Ὀρσόλοπος μὲν Ἄρης φιλέει μεναιχμάν.

Choerob. 209. 16 sqq. ὁ δ᾿ Ἡλιόδωρος φησὶν ἐν τῇ εἰσαγωγῇ, ὅτι καὶ τρεῖς εἰς μίαν συνεκφωνοῦνται συλλαβαί, ὡς τὸ διπενθημιμερὲς τοῦτο, [οἱονεὶ] τὸ δοκοῦν εἶναι ἐλεγεῖον· (mel. adesp. 39 [PMG 957] Page)

Ἀστερίς, οὔτε σ᾿ ἐγὼ φιλέω οὔτ᾿ Ἀπελλῆς.

οὐ γάρ ἐστιν ἐλεγεῖον, ἀλλὰ τὸ πρῶτον αὐτοῦ μέρος ἐστὶ δακτυλικόν, τὸ δὲ δεύτερον ἰαμβικόν· δύο γὰρ ἰαμβικοὺς ἔχει πόδας καὶ συλλαβήν· τὸ οὖν φιλέω οὐ ἀπὸ βραχείας καὶ μιᾶς μακρᾶς.

Schol. rec. in Pind. *Ol.* 3 (p. 146. 7 sqq. Abel) τὸ α′ ἐγκωμιολογικὸν τρίμετρον καταληκτικόν. ἐγκωμιολογικὸν δέ ἐστι τὸ διπενθημιμερὲς λεγόμενον· πενθημιμερῆ γάρ εἰσι β′, ἰαμβικὸν καὶ δακτυλικόν, καὶ ἔστιν ὅτε ἑνὶ στίχῳ μίγνυνται· ἀλλ᾿ ἐὰν μὲν προτεθῇ τὸ ἰαμβικόν, ἰαμβέλεγος καλεῖται ἀπὸ τῆς ποιότητος· εἰ δὲ τὸ δακτυλικόν, διπενθημιμερὲς ἀπὸ τῆς ποσότητος, τὸ αὐτὸ δὲ καὶ ἐγκωμιολογικόν· σύγκειται γὰρ ἐγκώμια ἐκ τοῦ τοιούτου μέτρου.

Schol. rec. in Pind. *Ol.* 3 (p. 148. 11 sqq. Abel) τὸ ζ′ ἐγκωμιολογικὸν ἐκ δακτυλικοῦ πενθημιμεροῦς καὶ ἰαμβικοῦ ὁμοίου, ὃ καὶ διπενθημιμερὲς καλεῖται, ὡς εἴρηται.

Schol. rec. in Pind. *Ol.* 6 (p. 197. 11 sqq. Abel) τὸ δ΄ ἐγκωμιολογικὸν ἤτοι διπενθημιμερὲς ἐκ δακτυλικοῦ καὶ ἰαμβικοῦ πενθημιμεροῦς ... (p. 198. 5 sqq. Abel) τὸ δ΄ ἐγκωμιολογικὸν ἤτοι διπενθημιμερὲς ἐκ δακτυλικοῦ καὶ ἰαμβικοῦ πενθημιμεροῦς.

Schol. rec. in Pind. *Ol.* 12 (p. 376. 10 sq. Abel) τὸ α΄ ἐγκωμιολογικὸν διπενθημιμερὲς ἐκ δακτυλικοῦ καὶ ἰαμβικοῦ πενθημιμερῶν.

Schol. in Aristoph. *pac.* 775d. 3 sqq. (p. 121 Holwerda) vet. τὸ ε΄ <δι>πενθημιμερές, ὃ καλοῦσιν ἰαμβέλεγον ... τὸ η΄ δακτυλικὸν ὅμοιον· τινὲς δὲ συνάπτουσι τὸ η΄ καὶ τὸ θ΄ καὶ γίνεται ἐγκωμιολογικὸν † εἰς † διπενθημιμερές, ὃ καὶ ἄμεινον.

– ⏑ ⏑ – ⏑ ⏑ – | × – ⏑ – ||

**2.** Tzetz. *de metr. Pind.* 105. 18 sqq.

ὁ ἐπῳδός δε κέκτηται ταῦτα τὰ κῶλα δέκα.
ἔστιν ἐγκωμιολογικὸν διπενθημιμερές τε
τὸ πρῶτον, ἀλλ᾿ ὁλόκληρον· τὴν θέσιν κατανόει.
δακτυλικά ἰαμβικά
– ⏑ ⏑ – ⏑ ⏑ – ⏓ – ⏑ ⏓.

Schol. rec. in Pind. *Ol.* 3 (p. 146. 7 sqq. Abel) τὸ α′ ἐγκωμιολογικὸν τρίμετρον καταληκτικόν.

Schol. rec. in Pind. *Ol.* 5 (p. 183. 12 sqq. Abel) τὸ δ′ χοριαμβικόν, ὡς ἐμοὶ δοκεῖ, τρίμετρον βραχυκατάληκτον, οὐκ ἐγκωμιολογικόν, ὥς φασιν· οὐ γάρ ἐστι διπενθημιμερές· ἐλλιπὲς γάρ ἐστι μιᾷ συλλαβῇ τὸ ἰαμβικόν. ἐπεὶ δὲ πολλὰ τῶν τοιούτων ἐλλιπῆ εὑρίσκεται πρὸς τοὺς παρὰ τοῦ τεχνικοῦ παραδεδομένους κανόνας, ἔστω καὶ τοῦτο ἐγκωμιολογικόν.

× – ⏑ – × | – ⏑ ⏑ – ⏑ ⏑ – ||

**3.** Schol. rec. in Pind. *Ol.* 3 (p. 146. 7 sqq. Abel) τὸ α′ ἐγκωμιολογικὸν τρίμετρον καταληκτικόν. ἐγκωμιολογικὸν δέ ἐστι τὸ διπενθημιμερὲς λεγόμενον· πενθημιμερῆ γάρ εἰσι β′, ἰαμβικὸν καὶ δακτυλικόν, καὶ ἔστιν ὅτε ἑνὶ στίχῳ μίγνυνται· ἀλλ᾽ ἐὰν μὲν προτεθῇ τὸ ἰαμβικόν, ἰαμβέλεγος καλεῖται ἀπὸ τῆς ποιότητος· εἰ δὲ τὸ δακτυλικόν, διπενθημιμερὲς ἀπὸ τῆς ποσότητος, τὸ αὐτὸ δὲ καὶ ἐγκωμιολογικόν· σύγκειται γὰρ ἐγκώμια ἐκ τοῦ τοιούτου μέτρου. ἰαμβέλεγος δὲ καλεῖται, ὅτι τὸ ἐλεγεῖον μέτρον ἐκ β′ πενθημιμερῶν δακτυλικῶν σύγκειται, ἀλλὰ τὸ μὲν α′ δέχεται καὶ σπονδείους, τὸ β′ δὲ μόνον δακτύλους. ἐπεὶ γοῦν καὶ τοῦτο ἐκ β′ πενθημιμερῶν σύγκειται, τοῦ α′ δακτυλικοῦ, τοῦ β′ δὲ ἰαμβικοῦ, διὰ τοῦτο διπενθημιμερὲς καλεῖται. ἔστι δὲ ἀσυνάρτητον, διότι μὴ πεφυκὸς ἡνώθη.

Schol. in Aristoph. *pac.* 775d. 3 sqq. (p. 121 Holwerda) vet τὸ ε′ <δι>πενθημιμερές, ὃ καλοῦσιν ἰαμβέλεγον … τὸ η′ δακτυλικὸν ὅμοιον· τινὲς δὲ συνάπτουσι τὸ η′ καὶ τὸ θ′ καὶ γίνεται ἐγκωμιολογικὸν † εἰς † διπενθημιμερές, ὃ καὶ ἄμεινον.

– – ⏑ – – | ⏑ ⏑ – ⏑ ⏑ – – ||

**4.** Schol. Byz. in Soph. *Oed. tyr.* 185 (p. 271. 9 sqq. Longo) τὸ μς΄ ἀσυνάρτητο ἐξ ἰαμβικοῦ πενθημιμεροῦς καὶ ἀναπαιστικοῦ ὁμοίου, ὃ καὶ καλεῖται διπενθημιμερές.

– ⏑ ⏑ – ⏑ ⏑ – | – ⏑ ⏑ – ⏑ ⏑ – ||

**5.** Sacerd. GL VI 502. 6 sqq. dactylicum metrum omnibus et simplicius et antiquius est, quod dividitur in species XVII: hexametras quidem quattuor ... pentametras quattuor, acatalectam pentametram integram, dipenthemimericam archilochiam dactylicam, sapphicam, simmiam.

Sacerd. GL VI 512. 10 sqq. de metro dipenthemimerico archilochio pentametro. archilochium dipenthemimericum pentametrum constat ex duabus divisionibus penthemimericis monoschematistis: semper enim binis dactylis constant, ut est exemplum graecum: (cf. Archil. 182. 2 West)

ἐν δὲ Βατουσιάδης, ἐν δὲ Βατουσιάσης,

latine sic:

Simplici summe virum, Maxime summe virum.

hoc metrum archilochium pentametrum dactylicum dipenthemimericum ab elegiaco metro hoc differt, quod illud habet primum versum heroicum hexa-

metrum, secundum vero dimetrum penthemimericum, hoc vero solum dipenthemimericum; et quod illud primam caesuram tetraschematistam habet, hoc vero utramque monoschematistam.

Sacerd. GL VI 517. 12 sqq. de archilochio penthemimerico simplici hypercatalecto. archilochium penthemimericum simplex hypercatalectum monoschematistum est: constat enim semper duobus dactylis et syllaba: (Archil. 182. 2 West)

ἐν δὲ Βατουσιάδης,

([Hom.] *Il.* I 1)

μῆνιν ἄειδε θεά,

(Verg. *Aen.* I 1)

arma virumque cano

(Hor. *carm.* I 8. 1)

Lydia dic per omnis.

hoc metrum duplicatum faciet archilochium dipenthemimericum pentametrum, de quo paulo ante tractavi. [*R.S.*]